πάντες οἱ ἐπηρμένοι ἀργυρίῳ. 12καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐξ- 12
ερευνήσω τὴν Ιερουσαλημ μετὰ λύχνου καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄνδρας
τοὺς καταφρονοῦντας ἐπὶ τὰ φυλάγματα αὐτῶν, οἱ λέγοντες ἐν
ταῖς καρδίαις αὐτῶν Οὐ μὴ ἀγαθοποιήσῃ κύριος οὐδʼ οὐ μὴ κακώσῃ,
13καὶ ἔσται ἡ δύναμις αὐτῶν εἰς διαρπαγὴν καὶ οἱ οἶκοι αὐτῶν 13
εἰς ἀφανισμόν, καὶ οἰκοδομήσουσιν οἰκίας καὶ οὐ μὴ κατοικήσου-
σιν ἐν αὐταῖς καὶ καταφυτεύσουσιν ἀμπελῶνας καὶ οὐ μὴ πίωσιν
τὸν οἶνον αὐτῶν.
14Ὅτι ἐγγὺς ἡ ἡμέρα κυρίου ἡ μεγάλη, ἐγγὺς καὶ ταχεῖα σφόδρα· 14
φωνὴ ἡμέρας κυρίου πικρὰ καὶ σκληρά, τέτακται δυνατή. 15ἡμέρα 15
ὀργῆς ἡ ἡμέρα ἐκείνη, ἡμέρα θλίψεως καὶ ἀνάγκης, ἡμέρα ἀωρίας
καὶ ἀφανισμοῦ, ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα νεφέλης καὶ
ὁμίχλης, 16ἡμέρα σάλπιγγος καὶ κραυγῆς ἐπὶ τὰς πόλεις τὰς ὀχυρὰς 16
καὶ ἐπὶ τὰς γωνίας τὰς ὑψηλάς. 17καὶ ἐκθλίψω τοὺς ἀνθρώπους, 17
καὶ πορεύσονται ὡς τυφλοί, ὅτι τῷ κυρίῳ ἐξήμαρτον· καὶ ἐκχεεῖ
τὸ αἷμα αὐτῶν ὡς χοῦν καὶ τὰς σάρκας αὐτῶν ὡς βόλβιτα. 18καὶ 18
τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν οὐ μὴ δύνηται ἐξελέ-
σθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς κυρίου, καὶ ἐν πυρὶ ζήλους αὐτοῦ
καταναλωθήσεται πᾶσα ἡ γῆ, διότι συντέλειαν καὶ σπουδὴν ποιήσει
ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν.
1Συνάχθητε καὶ συνδέθητε, τὸ ἔθνος τὸ ἀπαίδευτον, 2πρὸ τοῦ 2
γενέσθαι ὑμᾶς ὡς ἄνθος παραπορευόμενον, πρὸ τοῦ ἐπελθεῖν ἐφʼ
ὑμᾶς ὀργὴν κυρίου, πρὸ τοῦ ἐπελθεῖν ἐφʼ ὑμᾶς ἡμέραν θυμοῦ κυ-
ρίου. 3Ζητήσατε τὸν κύριον, πάντες ταπεινοὶ γῆς· κρίμα ἐργάζεσθε 3
καὶ δικαιοσύνην ζητήσατε καὶ ἀποκρίνεσθε αὐτά, ὅπως σκεπασθῆτε
ἐν ἡμέρᾳ ὀργῆς κυρίου.
4Διότι Γάζα διηρπασμένη ἔσται, καὶ Ἀσκαλὼν ἔσται εἰς ἀφανι- 4
σμόν, καὶ Ἄζωτος μεσημβρίας ἐκριφήσεται, καὶ Ακκαρων ἐκριζωθή-
σεται. 5οὐαὶ οἱ κατοικοῦντες τὸ σχοίνισμα τῆς θαλάσσης, πάροικοι 5
Κρητῶν· λόγος κυρίου ἐφʼ ὑμᾶς, Χανααν γῆ ἀλλοφύλων, καὶ ἀπολῶ
ὑμᾶς ἐκ κατοικίας· 6καὶ ἔσται Κρήτη νομὴ ποιμνίων καὶ μάνδρα 6
προβάτων, 7καὶ ἔσται τὸ σχοίνισμα τῆς θαλάσσης τοῖς καταλοίποις 7
οἴκου Ιουδα· ἐπʼ αὐτοὺς νεμήσονται ἐν τοῖς οἴκοις Ἀσκαλῶνος,
δείλης καταλύσουσιν ἀπὸ προσώπου υἱῶν Ιουδα, ὅτι ἐπέσκεπται
αὐτοὺς κύριος ὁ θεὸς αὐτῶν, καὶ ἀπέστρεψε τὴν αἰχμαλωσίαν αὐτῶν.
8Ἤκουσα ὀνειδισμοὺς Μωαβ καὶ κονδυλισμοὺς υἱῶν Αμμων, ἐν 8

12 εκεινη / τη ημ.] tr. BSW*LC*: cf. 10 | οι] + δε B† | εν τ. καρδ. αυτων > A† | ουδ ου AQW] ουδε BS*LC* || 14 η $1^0$ SA*LC*] > BQW: cf. 7 || 15 ημερα $3^0$⌒$4^0$ A†, $5^0$⌒$6^0$ W† | αωριας] ταλαιπωριας S$^c$*C* || 16 οχυρας] ισχ. A† | και ult. > A†

2 1 συνδεηθητε S$^c$W* || 4 εσται $2^0$ AQW] > BS*LC* | εκριφ. … εκριζωθ.] tr. A || 5 εφ] προς A† || 7 αυτους $1^0$] ς > AQS$^c$† | επεστρεψε S*†